† λυκοῦργος:

Περὶ λυκούργου τοῦ νομοθέτου καθόλου μὲν οὐδέν ἐστιν ε-
ἰπεῖν ἀναμφισβήτητον οὗ γε καὶ γένος καὶ ἀποδημία καὶ τελευ-
τὴ πρὸς ἅπασιν ἡ περὶ τοὺς νόμους αὐτοῦ καὶ τὴν πολιτείαν πρ-
αγματεία διαφόρους ἔσχηκεν ἱστορίας· ἥκιστα δὲ οἱ χρόνοι καθ' οὓς
γέγονεν ὁ ἀνὴρ ὁμολογοῦνται· οἱ μὲν γὰρ ἰφίτῳ συνακμάσαι καὶ
συνδιαθεῖναι τὴν ὀλυμπιακὴν ἐκεχειρίαν λέγουσιν αὐτόν· ὧν
ἐστι καὶ ἀριστοτέλης ὁ φιλόσοφος· τεκμήριον προφέρων τὸν ὀλυ-
μπιάσι δίσκον· ἐν ᾧ τοὔνομα τοῦ λυκούργου διασώζεται κατα-
γεγραμμένον· οἱ δὲ ταῖς διαδοχαῖς τῶν ἐν σπάρτῃ βεβασιλευκότ(ων)
ἀναλεγόμενοι τὸν χρόνον ὥσπερ ἐρατοσθένης καὶ ἀπολλόδωρος·
οὐκ ὀλίγοις ἔτεσι πρεσβύτερον ἀποφαίνουσι τῆς πρώτης ὀλυμ-
πιάδος· τίμαιος δὲ ὑπονοεῖ δυεῖν ἐν σπάρτῃ γεγονότων λυκούρ-
γων· οὐ κατὰ τὸν αὐτὸν χρόνον· θατέρῳ τὰς ἀμφοῖν πράξεις
διὰ τὴν δόξαν ἀνακεῖσθαι· καὶ τόν γε πρεσβύτερον οὐ πόρρω
τῶν ὁμήρου γεγονέναι χρόνων· ἔνιοι δὲ καὶ κατ' ὄψιν ἐντυχεῖν
ὁμήρῳ· δίδωσι δὲ καὶ ξενοφῶν ὑπόνοιαν ἀρχαιότητος ἐν οἷς
τὸν ἄνδρα λέγει γενέσθαι κατὰ τοὺς ἡρακλείδας· γένει μὲν γὰρ ἡρα-
κλεῖδαι δὴ ἦσαν· καὶ οἱ νεώτατοι τῶν ἐν σπάρτῃ βασιλέων·
ἔοικε δὲ βούλεσθαι τοὺς πρώτους ἐκείνους καὶ σύνεγγυς ἡ-
ρακλέους ὀνομάζειν ἡρακλείδας· οὐ μὴν ἀλλὰ καίπερ οὕτω
πεπλανημένης τῆς ἱστορίας πειρασόμεθα τοῖς βραχυτάτας
ἔχουσιν ἀντιλογίας ἢ γνωριμωτάτους μάρτυρας ἑπόμενοι
τῶν γεγραμμένων περὶ τοῦ ἀνδρὸς ἀποδοῦναι τὴν διήγησιν·
ἐπεὶ καὶ σιμωνίδης ὁ ποιητὴς οὐκ εὐνόμου λέγει τὸν λυκοῦργον

πρς'

α

286. Pal.

UNIVERSITÄTS-BIBLIOTHEK HEIDELBERG

BIBLIOTECA APOSTOLICA VATICANA

The Polonsky Foundation

© Biblioteca Apostolica Vaticana

https://digi.ub.uni-heidelberg.de/diglit/bav_pal_gr_286/0013